Τοῦ αὐτοῦ ἐπαναγνωστικὸν εἰς τὸν πατριάρχην καὶ τὴν σύνοδον· ἐγράφη δὲ ἔτι ὄντος αὐτοῦ γραμματικοῦ βασιλικοῦ καὶ συνεκστρατεύοντος βασιλεῖ.

Χάρις καὶ πάλιν θεῷ τῷ καὶ κατὰ τῶν ἀνθεστηκότων καὶ ἀλλοτρίων υἱῶν τῶν Σκυθῶν ἐπιφιλοτιμησαμένῳ νίκος τῇ βασιλείᾳ μου· εἴη δὲ ηὐλογημένον καὶ τὸ αὐτοῦ ὄνομα, τοῖς ἐχθροῖς μου διδόντος νῶτα καὶ πάντα πολέμιον ταπεινοῦντός μοι· ὁ γὰρ παντοκρατορικῇ περιέπων τὴν βασιλείαν μου δεξιᾷ ἐν πολέμῳ, ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, ἐν τοῖς ἔνδον καὶ θυραίοις κακοῖς, τοσοῦτον ἐμεγάλυνε τοῦ ποιῆσαι μετ' αὐτῆς ἔλεος, ὡς ἔτι ἐπὶ τοῖς προτέροις αἶνεσιν αὐτοῦ τῷ στόματι φέρουσαν καὶ μήπω καθαρῶς εὐχαριστήσασαν ἐπ' αὐτοῖς, ἑτέροις κατὰ πόδας καινοτέροις ὑψοῦν καὶ κατὰ βαθμίδωσιν ἀνάγειν οἷον τοῖς μείζοσιν, ὡς μὴ εἶναι ὅτε οὐχί· πρότριτα μὲν γάρ, καθάπερ φθάσαντες ἐνηχήθητε εἰς ἀκοὴν ὠτίου ἀνελιχθέντων τῶν χαροποιῶν ἐκείνων καὶ εὐαγγελίων γραμμάτων τῆς βασιλείας μου, ἡνίκα ἡ τῶν ποτὲ βασιλὶς παιάνων ἔμπλεως ἦν, καὶ παρὰ στενωποῖς τε καὶ ἀγυιαῖς ἐθύετε θεῷ εὐχαριστήρια, ἐφ' ὑψηλὰ ἐτίθει τοὺς πόδας μου, καὶ πάντα βουνὸν ἐταπείνου τῇ βασιλείᾳ μου, μετατιθεὶς εἰς εὐθέα τὰ σκολιὰ καὶ παρέχων εὐπόρευτα τὰ δυσπόρευτα, καὶ ψηλαφητὸν οἷον τοῖς ἀποστάταις σκότος κατεσκεδάζετο· τῷ ποιοῦντι κατὰ τὸν προφήτην ὄρθρον καὶ ὁμίχλην καὶ ἐπιβαίνοντι ἐπὶ τὰ ὕψη τῆς γῆς. Καὶ οἱ μὲν τῶν ὑπεναντίων μαχαίρας ἔργον γενόμενοι ἔκειντο κατὰ βοσκήματα σφακελίζοντες, οἱ δὲ δεσμοὺς ἕως τραχήλου ὑπήνεγκαν καὶ δραπέταις οἰκέταις ἐπίσης ᾐκίζοντο· οἱ δὲ φυγῇ τὴν σωτηρίαν πριάμενοι, τέλος ἐλέῳ περισωθέντες τῆς βασιλείας μου, ἃ δι' εὐχῆς οὐκ ἤλπιζον ἔχοντες, ταῦτα καὶ ὑπὲρ εὐχὴν ἀπροσδοκήτως ἐλάμβανον. Καὶ χθὲς μὲν καὶ πρὸ τρίτης τοιού-